# 173. THE LAST SUPPER (Mk-Lk Identical)

| Mark 14:12-31 | Luke 22:7-38 |
|---|---|
| *Καὶ τῇ πρώτῃ ἡμέρᾳ* | *Ἦλθεν δὲ ἡ ἡμέρα* |
| *τῶν ἀζύμων,* | *τῶν ἀζύμων,* |
| *ὅτε τὸ πάσχα ἔθυον,* | *ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα.* |
| | *8 καὶ ἀπέστειλεν Πέτρον* |
| | *καὶ Ἰωάννην εἰπών,* |
| | *Πορευθέντες ἑτοιμάσατε ἡμῖν* |
| | *τὸ πάσχα ἵνα φάγωμεν.* |
| *λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ,* | *9 οἱ δὲ εἶπαν αὐτῷ,* |
| *Ποῦ θέλεις* | *Ποῦ θέλεις* |
| *ἀπελθόντες ἑτοιμάσωμεν* | *ἑτοιμάσωμεν* |
| *ἵνα φάγῃς τὸ πάσχα* | |
| *13 καὶ ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ* | |
| *καὶ λέγει αὐτοῖς,* | *10 ὁ δὲ εἶπεν αὐτοῖς,* |
| *Ὑπάγετε* | *Ἰδοὺ εἰσελθόντων ὑμῶν* |
| *εἰς τὴν πόλιν,* | *εἰς τὴν πόλιν* |
| *καὶ ἀπαντήσει ὑμῖν ἄνθρωπος* | *συναντήσει ὑμῖν ἄνθρωπος* |
| *κεράμιον ὕδατος βαστάζων·* | *κεράμιον ὕδατος βαστάζων·* |
| *ἀκολουθήσατε αὐτῷ,* | *ἀκολουθήσατε αὐτῷ* |
| *14 καὶ ὅπου ἐὰν εἰσέλθῃ* | *εἰς τὴν οἰκίαν εἰς ἣν εἰσπορεύεται.* |
| *εἴπατε τῷ οἰκοδεσπότῃ ὅτι* | *11 καὶ ἐρεῖτε τῷ οἰκοδεσπότῃ τῆς οἰκίας,* |
| *Ὁ διδάσκαλος λέγει,* | *Λέγει σοι ὁ διδάσκαλος,* |
| *Ποῦ ἐστιν τὸ κατάλυμά μου* | *Ποῦ ἐστιν τὸ κατάλυμα* |
| *ὅπου τὸ πάσχα* | *ὅπου τὸ πάσχα* |
| *μετὰ τῶν μαθητῶν μου φάγω* | *μετὰ τῶν μαθητῶν μου φάγω* |
| *15 καὶ αὐτὸς ὑμῖν δείξει* | *12 κἀκεῖνος ὑμῖν δείξει* |
| *ἀνάγαιον* | *ἀνάγαιον* |
| *μέγα ἐστρωμένον ἕτοιμον·* | *μέγα ἐστρωμένον·* |
| *καὶ ἐκεῖ ἑτοιμάσατε ἡμῖν.* | *ἐκεῖ ἑτοιμάσατε.* |
| *16 καὶ ἐξῆλθον οἱ μαθηταὶ* | |
| *καὶ ἦλθον εἰς τὴν πόλιν* | *13 ἀπελθόντες δὲ* |
| *καὶ εὗρον* | *εὗρον* |
| *καθὼς εἶπεν αὐτοῖς,* | *καθὼς εἰρήκει αὐτοῖς,* |
| *καὶ ἡτοίμασαν τὸ πάσχα.* | *καὶ ἡτοίμασαν τὸ πάσχα.* |
| *17 Καὶ ὀψίας γενομένης* | *14 Καὶ ὅτε ἐγένετο ἡ ὥρα,* |
| *ἔρχεται μετὰ τῶν δώδεκα.* | *ἀνέπεσεν καὶ οἱ ἀπόστολοι σὺν αὐτῷ.* |

15 καὶ εἶπεν πρὸς αὐτούς, Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ ὑμῶν πρὸ τοῦ με παθεῖν· 16 λέγω γὰρ ὑμῖν ὅτι οὐ μὴ φάγω αὐτὸ ἕως ὅτου πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ. 17 καὶ δεξάμενος ποτήριον εὐχαριστήσας εἶπεν, Λάβετε τοῦτο καὶ διαμερίσατε εἰς ἑαυτούς·

18 καὶ ἀνακειμένων αὐτῶν

καὶ ἐσθιόντων

ὁ Ἰησοῦς εἶπεν,

Ἀμὴν λέγω ὑμῖν

ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με,

ὁ ἐσθίων μετ ἐμοῦ.

19 ἤρξαντο λυπεῖσθαι

καὶ λέγειν αὐτῷ εἷς κατὰ εἷς,

Μήτι ἐγώ

20 ὁ δὲ εἶπεν αὐτοῖς,

Εἷς τῶν δώδεκα,

ὁ ἐμβαπτόμενος μετ ἐμοῦ

εἰς τὸ τρύβλιον.

21 ὅτι ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου

ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ,

οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ

δι οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου

παραδίδοται·

καλὸν αὐτῷ εἰ οὐκ ἐγεννήθη

ὁ ἄνθρωπος ἐκεῖνος.

22 Καὶ ἐσθιόντων αὐτῶν

| | |
|---|---|
| λαβὼν ἄρτον | 19 καὶ λαβὼν ἄρτον |
| εὐλογήσας ἔκλασεν | εὐχαριστήσας ἔκλασεν |
| καὶ ἔδωκεν αὐτοῖς καὶ εἶπεν, | καὶ ἔδωκεν αὐτοῖς λέγων, |
| Λάβετε, | |
| τοῦτό ἐστιν τὸ σῶμά μου. | Τοῦτό ἐστιν τὸ σῶμά μου |
| | τὸ ὑπὲρ ὑμῶν διδόμενον· |
| | τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. |
| 23 καὶ λαβὼν ποτήριον | 20 καὶ τὸ ποτήριον ὡσαύτως |
| | μετὰ τὸ δειπνῆσαι, λέγων, |

εὐχαριστήσας ἔδωκεν αὐτοῖς,

καὶ ἔπιον ἐξ αὐτοῦ πάντες.

24 καὶ εἶπεν αὐτοῖς,

| | |
|---|---|
| Τοῦτό ἐστιν | Τοῦτο τὸ ποτήριον |
| τὸ αἷμά μου τῆς διαθήκης | ἡ καινὴ διαθήκη ἐν τῷ αἵματί μου, |
| τὸ ἐκχυννόμενον ὑπὲρ πολλῶν· | τὸ ὑπὲρ ὑμῶν ἐκχυννόμενον. |
| 25 ἀμὴν λέγω ὑμῖν | 18 λέγω γὰρ ὑμῖν |
| ὅτι οὐκέτι οὐ μὴ πίω | ὅτι οὐ μὴ πίω ἀπὸ τοῦ νῦν |
| ἐκ τοῦ γενήματος | ἀπὸ τοῦ γενήματος |
| τῆς ἀμπέλου | τῆς ἀμπέλου |
| ἕως τῆς ἡμέρας ἐκείνης | ἕως οὗ |
| ὅταν αὐτὸ πίνω | |
| καινὸν | |
| ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ. | ἡ βασιλεία τοῦ θεοῦ ἔλθῃ. |

21 πλὴν ἰδοὺ ἡ χεὶρ τοῦ παραδιδόντος με μετ ἐμοῦ ἐπὶ τῆς τραπέζης·

22 ὅτι ὁ υἱὸς μὲν τοῦ ἀνθρώπου κατὰ τὸ ὡρισμένον πορεύεται, πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ δι οὗ παραδίδοται.

23 καὶ αὐτοὶ ἤρξαντο συζητεῖν πρὸς ἑαυτοὺς τὸ τίς ἄρα εἴη ἐξ αὐτῶν ὁ τοῦτο μέλλων πράσσειν.

24 Ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς, τὸ τίς αὐτῶν δοκεῖ εἶναι μείζων.

25 ὁ δὲ εἶπεν αὐτοῖς, Οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύουσιν αὐτῶν καὶ οἱ ἐξουσιάζοντες αὐτῶν εὐεργέται καλοῦνται.

26 ὑμεῖς δὲ οὐχ οὕτως, ἀλλ ὁ μείζων ἐν ὑμῖν γινέσθω ὡς ὁ νεώτερος, καὶ ὁ ἡγούμενος ὡς ὁ διακονῶν.

27 τίς γὰρ μείζων, ὁ ἀνακείμενος ἢ ὁ διακονῶν οὐχὶ ὁ ἀνακείμενος ἐγὼ δὲ ἐν μέσῳ ὑμῶν εἰμι ὡς ὁ διακονῶν.

28 ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου·

| | |
|---|---|
| | 29 κἀγὼ διατίθεμαι ὑμῖν καθὼς διέθετό μοι ὁ πατήρ μου βασιλείαν 30 ἵνα ἔσθητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου, καὶ καθήσεσθε ἐπὶ θρόνων τὰς δώδεκα φυλὰς κρίνοντες τοῦ Ἰσραήλ. |
| 26 Καὶ ὑμνήσαντες ἐξῆλθον | |
| εἰς τὸ Ὄρος τῶν Ἐλαιῶν. | |
| 27 Καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς ὅτι | |
| Πάντες σκανδαλισθήσεσθε, | |
| ὅτι γέγραπται, | |
| Πατάξω τὸν ποιμένα, | |
| καὶ τὰ πρόβατα | |
| διασκορπισθήσονται· | |
| 28 ἀλλὰ μετὰ τὸ ἐγερθῆναί με | |
| προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. | |
| | 31 Σίμων Σίμων, ἰδοὺ ὁ Σατανᾶς ἐξῃτήσατο ὑμᾶς τοῦ σινιάσαι ὡς τὸν σῖτον· |
| | 32 ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου· καὶ σύ ποτε ἐπιστρέψας στήρισον τοὺς ἀδελφούς σου. |
| 29 ὁ δὲ Πέτρος | 33 ὁ δὲ |
| ἔφη αὐτῷ, | εἶπεν αὐτῷ, |
| Εἰ καὶ πάντες σκανδαλισθήσονται, | |
| ἀλλ᾽ οὐκ ἐγώ. | |
| | Κύριε, μετὰ σοῦ |
| | ἕτοιμός εἰμι καὶ εἰς φυλακὴν |
| | καὶ εἰς θάνατον πορεύεσθαι. |
| 30 καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, | 34 ὁ δὲ εἶπεν, |
| Ἀμὴν λέγω σοι ὅτι | Λέγω σοι, Πέτρε, |
| σὺ σήμερον ταύτῃ τῇ νυκτὶ | |
| πρὶν ἢ δὶς ἀλέκτορα φωνῆσαι | οὐ φωνήσει σήμερον ἀλέκτωρ |
| τρίς με ἀπαρνήσῃ. | ἕως τρίς με ἀπαρνήσῃ εἰδέναι. |
| 31 ὁ δὲ ἐκπερισσῶς ἐλάλει, | |
| Ἐὰν δέῃ με συναποθανεῖν σοι, | |
| οὐ μή σε ἀπαρνήσομαι. | |
| ὡσαύτως δὲ καὶ πάντες | |
| ἔλεγον. | |

*35 Καὶ εἶπεν αὐτοῖς, Ὅτε
ἀπέστειλα ὑμᾶς ἄτερ βαλλαντίου
καὶ πήρας καὶ ὑποδημάτων, μή
τινος ὑστερήσατε οἱ δὲ εἶπαν,
Οὐθενός. 36 εἶπεν δὲ αὐτοῖς, Ἀλλὰ
νῦν ὁ ἔχων βαλλάντιον ἀράτω,
ὁμοίως καὶ πήραν, καὶ ὁ μὴ ἔχων
πωλησάτω τὸ ἱμάτιον αὐτοῦ καὶ
ἀγορασάτω μάχαιραν. 37 λέγω γὰρ
ὑμῖν ὅτι τοῦτο τὸ γεγραμμένον δεῖ
τελεσθῆναι ἐν ἐμοί, τὸ Καὶ μετὰ
ἀνόμων ἐλογίσθη· καὶ γὰρ τὸ περὶ
ἐμοῦ τέλος ἔχει. 38 οἱ δὲ εἶπαν,
Κύριε, ἰδοὺ μάχαιραι ὧδε δύο. ὁ δὲ
εἶπεν αὐτοῖς, Ἱκανόν ἐστιν.*

184 matches out of 851 words = 21%